BLOOMSBURY

# *Bacchae* 434–508, 800–38 (here 1–114)

# 2022–2023 Prescription

SERVANT: Πενθεῦ, πάρεσμεν τήνδ᾽ ἄγραν ἠγρευκότες
ἐφ᾽ ἣν ἔπεμψας, οὐδ᾽ ἄκρανθ᾽ ὡρμήσαμεν.
ὁ θὴρ δ᾽ ὅδ᾽ ἡμῖν πρᾶος οὐδ᾽ ὑπέσπασεν
φυγῇ πόδ᾽, ἀλλ᾽ ἔδωκεν οὐκ ἄκων χέρας
οὐδ᾽ ὠχρός, οὐδ᾽ ἤλλαξεν οἰνωπὸν γένυν,
γελῶν δὲ καὶ δεῖν κἀπάγειν ἐφίετο
ἔμενέ τε, τοὐμὸν εὐτρεπὲς ποιούμενος.
κἀγὼ δι᾽ αἰδοῦς εἶπον· ‘ὦ ξέν᾽, οὐχ ἑκὼν
ἄγω σε, Πενθέως δ᾽ ὅς μ᾽ ἔπεμψ᾽ ἐπιστολαῖς.’
ἃς δ᾽ αὖ σὺ βάκχας εἷρξας, ἃς συνήρπασας
κἄδησας ἐν δεσμοῖσι πανδήμου στέγης,

φροῦδαί γ′ ἐκεῖναι λελυμέναι πρὸς ὀργάδας
σκιρτῶσι Βρόμιον ἀνακαλούμεναι θεόν·
αὐτόματα δ′ αὐταῖς δεσμὰ διελύθη ποδῶν
κλῇδές τ′ ἀνῆκαν θύρετρ′ ἄνευ θνητῆς χερός.
πολλῶν δ′ ὅδ′ ἀνὴρ θαυμάτων ἥκει πλέως
ἐς τάσδε Θήβας. σοὶ δὲ τἄλλα χρὴ μέλειν.

PENTHEUS: μέθεσθε χειρῶν τοῦδ′· ἐν ἄρκυσιν γὰρ ὢν
οὐκ ἔστιν οὕτως ὠκὺς ὥστε μ′ ἐκφυγεῖν.
ἀτὰρ τὸ μὲν σῶμ′ οὐκ ἄμορφος εἶ, ξένε,
ὡς ἐς γυναῖκας, ἐφ′ ὅπερ ἐς Θήβας πάρει·
πλόκαμός τε γάρ σου ταναὸς οὐ πάλης ὕπο,
γένυν παρ′ αὐτὴν κεχυμένος, πόθου πλέως·
λευκὴν δὲ χροιὰν ἐκ παρασκευῆς ἔχεις,

οὐχ ἡλίου βολαῖσιν, ἀλλ' ὑπὸ σκιᾶς,
τὴν Ἀφροδίτην καλλονῇ θηρώμενος.
πρῶτον μὲν οὖν μοι λέξον ὅστις εἶ γένος.
Dionysus: οὐ κόμπος οὐδείς, ῥᾴδιον δ' εἰπεῖν τόδε.
τὸν ἀνθεμώδη Τμῶλον οἶσθά που κλύων.
Pentheus: οἶδ', ὃς τὸ Σάρδεων ἄστυ περιβάλλει κύκλῳ.
Di. ἐντεῦθέν εἰμι, Λυδία δέ μοι πατρίς.
Pe. πόθεν δὲ τελετὰς τάσδ' ἄγεις ἐς Ἑλλάδα;
Di. Διόνυσος αὐτος μ' εἰσέβησ', ὁ τοῦ Διός.
Pe. Ζεὺς δ' ἔστ' ἐκεῖ τις ὃς νέους τίκτει θεούς;
Di. οὔκ, ἀλλ' ὁ Σεμέλην ἐνθάδε ζεύξας γάμοις.
Pe. πότερα δὲ νύκτωρ σ' ἢ κατ' ὄμμ' ἠνάγκασεν;
Di. ὁρῶν ὁρῶντα, καὶ δίδωσιν ὄργια.

Pe. τὰ δ' ὄργι' ἐστὶ τίν' ἰδέαν ἔχοντά σοι;

Di. ἄρρητ' ἀβακχεύτοισιν εἰδέναι βροτῶν.

Pe. ἔχει δ' ὄνησιν τοῖσι θύουσιν τίνα;

Di. οὐ θέμις ἀκοῦσαί σ', ἔστι δ' ἄξι' εἰδέναι.

Pe. εὖ τοῦτ' ἐκιβδήλευσας, ἵν' ἀκοῦσαι θέλω.

Di. ἀσέβειαν ἀσκοῦντ' ὄργι' ἐχθαίρει θεοῦ.

Pe. ὁ θεός, ὁρᾶν γὰρ φῂς σαφῶς, ποῖός τις ἦν;

Di. ὁποῖος ἤθελ'· οὐκ ἐγὼ 'τασσον τόδε.

Pe. τοῦτ' αὖ παρωχέτευσας εὖ γ' οὐδὲν λέγων.

Di. δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν.

Pe. ἦλθες δὲ πρῶτα δεῦρ' ἄγων τὸν δαίμονα;

Di. πᾶς ἀναχορεύει βαρβάρων τάδ' ὄργια.

Pe. φρονοῦσι γὰρ κάκιον Ἑλλήνων πολύ.

Di. τάδ᾽ εὖ γε μᾶλλον· οἱ νόμοι δὲ διάφοροι.

Pe. τὰ δ᾽ ἱερὰ νύκτωρ ἢ μεθ᾽ ἡμέραν τελεῖς;

Di. νύκτωρ τὰ πολλά· σεμνότητ᾽ ἔχει σκότος.

Pe. τοῦτ᾽ ἐς γυναῖκας δόλιόν ἐστι καὶ σαθρόν.

Di. κἀν ἡμέρᾳ τό γ᾽ αἰσχρὸν ἐξεύροι τις ἄν.

Pe. δίκην σε δοῦναι δεῖ σοφισμάτων κακῶν.

Di. σὲ δ᾽ ἀμαθίας γε κἀσεβοῦντ᾽ ἐς τὸν θεόν.

Pe. ὡς θρασὺς ὁ βάκχος κοὐκ ἀγύμναστος λόγων.

Di. εἴφ᾽ ὅτι παθεῖν δεῖ· τί με τὸ δεινὸν ἐργάσῃ;

Pe. πρῶτον μὲν ἁβρὸν βόστρυχον τεμῶ σέθεν.

Di. ἱερὸς ὁ πλόκαμος· τῷ θεῷ δ᾽ αὐτὸν τρέφω.

Pe. ἔπειτα θύρσον τόνδε παράδος ἐκ χεροῖν.

Di. αὐτός μ᾽ ἀφαιροῦ· τόνδε Διονύσῳ φορῶ.

Pe. εἱρκταῖσί τ᾽ ἔνδον σῶμα σὸν φυλάξομεν.

Di. λύσει μ᾽ ὁ δαίμων αὐτός, ὅταν ἐγὼ θέλω.

Pe. ὅταν γε καλέσῃς αὐτὸν ἐν βάκχαις σταθείς.

Di. καὶ νῦν ἃ πάσχω πλησίον παρὼν ὁρᾷ.

Pe. καὶ ποῦ 'στιν; οὐ γὰρ φανερὸς ὄμμασίν γ᾽ ἐμοῖς.

Di. παρ᾽ ἐμοί· σὺ δ᾽ ἀσεβὴς αὐτὸς ὢν οὐκ εἰσορᾷς.

Pe. λάζυσθε· καταφρονεῖ με καὶ Θήβας ὅδε.

Di. αὐδῶ με μὴ δεῖν σωφρονῶν οὐ σώφροσιν.

Pe. ἐγὼ δὲ δεῖν γε, κυριώτερος σέθεν.

Di. οὐκ οἶσθ᾽ ὅ τι ζῇς, οὐδ᾽ ὃ δρᾷς, οὐδ᾽ ὅστις εἶ.

Pe. Πενθεύς, Ἀγαύης παῖς, πατρὸς δ᾽ Ἐχίονος.

Di. ἐνδυστυχῆσαι τοὔνομ᾽ ἐπιτήδειος εἶ.

Pe. ἀπόρῳ γε τῷδε συμπεπλέγμεθα ξένῳ,

ὃς οὔτε πάσχων οὔτε δρῶν σιγήσεται.

Di. ὦ τᾶν, ἔτ' ἔστιν εὖ καταστῆσαι τάδε.

Pe. τί δρῶντα; δουλεύοντα δουλείαις ἐμαῖς;

Di. ἐγὼ γυναῖκας δεῦρ' ὅπλων ἄξω δίχα.

Pe. οἴμοι· τόδ' ἤδη δόλιον ἐς ἐμὲ μηχανᾷ.

Di. ποῖόν τι, σῶσαί σ' εἰ θέλω τέχναις ἐμαῖς;

Pe. ξυνέθεσθε κοινῇ τάδ', ἵνα βακχεύητ' ἀεί.

Di. καὶ μὴν ξυνεθέμην τοῦτό γ', ἴσθι, τῷ θεῷ.

Pe. ἐκφέρετέ μοι δεῦρ' ὅπλα, σὺ δὲ παῦσαι λέγων.

Di. ἆ·

βούλῃ σφ' ἐν ὄρεσι συγκαθημένας ἰδεῖν;

Pe. μάλιστα, μυρίον γε δοὺς χρυσοῦ σταθμόν.

Di. τί δ' εἰς ἔρωτα τοῦδε πέπτωκας μέγαν;

Pe. λυπρῶς νιν εἰσίδοιμ᾽ ἂν ἐξῳνωμένας.

Di. ὅμως δ᾽ ἴδοις ἂν ἡδέως ἅ σοι πικρά;

Pe. σάφ᾽ ἴσθι, σιγῇ γ᾽ ὑπ᾽ ἐλάταις καθήμενος.

Di. ἀλλ᾽ ἐξιχνεύσουσίν σε, κἂν ἔλθῃς λάθρᾳ.

Pe. ἀλλ᾽ ἐμφανῶς· καλῶς γὰρ ἐξεῖπας τάδε.

Di. ἄγωμεν οὖν σε κἀπιχειρήσεις ὁδῷ;

Pe. ἄγ᾽ ὡς τάχιστα· τοῦ χρόνου δέ σοι φθονῶ.

Di. στεῖλαί νυν ἀμφὶ χρωτὶ βυσσίνους πέπλους.

Pe. τί δὴ τόδ᾽; ἐς γυναῖκας ἐξ ἀνδρὸς τελῶ;

Di. μή σε κτάνωσιν, ἢν ἀνὴρ ὀφθῇς ἐκεῖ.

Pe. εὖ γ᾽ εἶπας αὖ τόδ᾽· ὥς τις εἶ πάλαι σοφός.

Di. Διόνυσος ἡμᾶς ἐξεμούσωσεν τάδε.

Pe. πῶς οὖν γένοιτ᾽ ἂν ἃ σύ με νουθετεῖς καλῶς;

Di. ἐγὼ στελῶ σε δωμάτων ἔσω μολών.

Pe. τίνα στολήν; ἦ θῆλυν; ἀλλ᾽ αἰδώς μ᾽ ἔχει.

Di. οὐκέτι θεατὴς μαινάδων πρόθυμος εἶ;

Pe. στολὴν δὲ τίνα φῄς ἀμφὶ χρῶτ᾽ ἐμὸν βαλεῖν;

Di. κόμην μὲν ἐπὶ σῷ κρατὶ ταναὸν ἐκτενῶ.

Pe. τὸ δεύτερον δὲ σχῆμα τοῦ κόσμου τί μοι;

Di. πέπλοι ποδήρεις· ἐπὶ κάρᾳ δ᾽ ἔσται μίτρα.

Pe. ἦ καί τι πρὸς τοῖσδ᾽ ἄλλο προσθήσεις ἐμοί;

Di. θύρσον γε χειρὶ καὶ νεβροῦ στικτὸν δέρος.

Pe. οὐκ ἂν δυναίμην θῆλυν ἐνδῦναι στολήν.

Di. ἀλλ᾽ αἷμα θήσεις συμβαλὼν βάκχαις μάχην.

Pe. ὀρθῶς· μολεῖν χρὴ πρῶτον ἐς κατασκοπήν.